Κωνσταντίνειος Δωρεά, εκδ. W. Ohnsorge, στο: Konstantinopel und Okzident, Ντάρμσταντ 1966, σσ. 108-123.

᾿Ωφέλιμον ἔγνωμεν εἶναι σὺν πᾶσι τοῖς σατράπαις καὶ ἐλλογίμοις ἁπάσης τῆς γερουσίας, μεγιστᾶσί τε καὶ παντὶ τῷ δήμῳ τῷ τῇ δόξῃ τῆς ῾Ρωμαϊκῆς βασιλείας ὑπείκοντι, ὡς ἂν καθάπερ ὁ μακάριος Πέτρος ὁ ἐν τῇ γῇ τοποτηρητὴς τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀποκαταστῆναι φαινόμενος, οὕτω καὶ οἱ <ἐν> προσώπῳ τοῦ ἀποστόλου Πέτρου ὄντες ἀρχιερεῖς ἐξουσίαν ἀρχῆς ἐπέκεινα τῆς παρ᾿ ἡμῶν γαληνότητος κατεχομένης κατέχοιεν δωρηθεῖσαν καὶ στερχθεῖσαν αὐτοῖς παρ᾿ ἡμῶν τε καὶ τῆς ἡμῶν βασιλείας, προκρίνοντες τὸν μακάριον Πέτρον καὶ τοὺς τὸν τόπον ἐκείνου ἐπέχοντας πρὸς Θεὸν ἡμετέρους εἶναι πάτρωνας. καὶ καθάπερ τὴν ἡμετέραν ἐπίγειον βασιλικὴν ἐξουσίαν, οὕτω καὶ τὴν ἱερὰν καὶ ἁγίαν ῾Ρωμαϊκὴν ἐκκλησίαν δέον ἐκρίναμεν τιμᾶσθαι, καὶ μᾶλλον τοῦ ἡμετέρου βασιλικοῦ θρόνου τὴν ἱερὰν καὶ ἁγίαν καθέδραν τοῦ μακαρίου Πέτρου ἐντίμως ὑψοῦσθαι, δίδοντες αὐτῇ ἐξουσίαν καὶ δόξης ἀξίαν.

ὅθεν καὶ διακρίνοντες θεσπίζομεν ἐπεξουσιάζειν τοῦτο μὲν τῶν τεσσάρων καθεδρῶν ᾿Αλεξανδρείας, ᾿Αντιοχείας, ῾Ιεροσολύμων καὶ Κωνσταντινουπόλεως, τοῦτο δὲ καὶ πασῶν τῶν ἐν πάσῃ τῇ οἰκουμένῃ τοῦ Θεοῦ ἐκκλησιῶν. καὶ ὁ κατὰ καιροὺς ἀρχιερεὺς αὐτῆς τῆς ἱερᾶς καὶ ἁγίας τοῦ Θεοῦ ῾Ρωμαϊκῆς ἐκκλησίας ὑψηλότερος καὶ ἄρχων τῶν ἱερέων παντὸς τοῦ κόσμου ἔσεῖται, καὶ τῇ κρίσει αὐτοῦ τὰ πρὸς λατρείαν τοῦ Θεοῦ καὶ πρὸς τὴν τῶν Χριστιανῶν πίστιν καὶ ἑδραιότητα φροντίζεσθαι ἄξια διοικηθήσεται. δίκαιον γάρ ἐστιν ἐκεῖσε τὸν ἅγιον νόμον τὴν κεφαλὴν τῆς ἀρχῆς ἔχειν, ἔνθα ὁ δημιουργὸς τῶν ἱερῶν νόμων καὶ σωτὴρ ἡμῶν τῷ μακαρίῳ ἀποστόλῳ Πέτρῳ τὴν καθέδραν κατέχειν διωρίσατο καὶ ἔνθα τὸ τοῦ σταυροῦ ὑπέμεινε πάθος καὶ τὸ τοῦ μακαρίου θανάτου προσελάβετο πόμα μιμητὴς τοῦ διδασκάλου αὐτοῦ καὶ κυρίου ἀναφανείς·

ἐκεῖσε τὰ ἔθνη τοὺς τραχήλους κλινοῦσι τῇ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀνομολογήσει, ἔνθα ὁ διδάσκαλος αὐτῶν ὁ μακάριος ἀπόστολος Παῦλος τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ τὸν τράχηλον ἐκτείνας ἐστέφθη· ἐκεῖσε μέχρι τέλους ζητήσουσι τὸν διδάσκαλον, ἔνθα τῶν ἁγίων διδασκάλων ἠρεμοῦσι τὰ σώματα. ἐκεῖσε προκυλινδούμενοι καὶ τῇ γῇ ἑαυτοὺς ὑποστρωννύοντες τῷ τοῦ οὐρανίου βασιλέως καὶ σωτῆρος ἡμῶν ᾿Ιησοῦ Χριστοῦ ἐκδουλεύσουσιν ὀφφικίῳ, ἔνθα οἱ ἀλαζόνες τῷ κράτει τοῦ ἐπιγείου βασιλέως ἐδούλευον.

ὅθεν καὶ ὡς μήποτε ἡ ἀρχιερατικὴ ὑψηλότης ἐξουδενωθῇ, ἵνα δὲ μᾶλλον ὑπὲρ τὴν ἐπίγειον ἀξίαν τῆς βασιλείας ἡμῶν καὶ τὴν τῆς δόξας ἐξουσιότητα λαμπρυνθῇ, ἰδοὺ τοῦτο μὲν τὸ παλάτιον ἡμῶν ὡς ὑπερέχον καὶ τὴν Ῥωμαϊκὴν πόλιν, τοῦτο δὲ καὶ πάσας τὰς ἐν τῇ Ἰταλίᾳ καὶ τῶν δυτικῶν (nach δυτικῶν: Codd. Lücke; das Wort ἐπαρχίας der Vorlage scheint unleserlich gewesen zu sein), περιχώρους τοὺς τόπους καὶ τὰς πόλεις τῷ πολλάκις ῥηθέντι μακαριωτάτῳ ἀρχιερεῖ καὶ πατρὶ ἡμῶν Σιλβέστρῳ τῷ οἰκουμενικῷ πάπᾳ παραδιδόντες καὶ ἀφιέντες, παρ' αὐτοῦ καὶ τῶν διαδόχων αὐτοῦ ἀρχιερέων ἐξουσίᾳ καὶ δόγματι ἀρραγεῖ τῆς βασιλικῆς διατάξεως διὰ τοῦδε τοῦ ἡμετέρου θείου προστάγματος καὶ τῆς πραγματικῆς ἀποκαταστάσεως οἰκονομεῖσθαι διεντελλόμεθα καὶ τῷ δικαίῳ τῆς Ῥωμαϊκῆς ἐκκλησίας διαμένειν παραχωροῦμεν.

ὅθεν συμφέρον διέγνωμεν τὴν βασιλείαν ἡμῶν καὶ τὴν τοῦ κράτους ἐξουσίαν τοῖς ἀνατολικοῖς μέρεσι μεταμεῖψαί τε καὶ μετακομίσαι καὶ ἐν τῇ περιχώρῳ τοῦ Βυζαντίου ἐν ἀγαθῷ τόπῳ πόλιν ἐπὶ τῷ ἡμετέρῳ οἰκοδομῆσαι ὀνόματι κἀκεῖσε τὴν βασιλείαν ἡμῶν ἀποκαταστῆσαι· ἔνθα γὰρ ἡ ἱερατικὴ ἀρχὴ τῆς τῶν Χριστιανῶν λογάδος παρὰ τοῦ οὐρανίου βασιλέως ἀποκατέστη, οὐ δίκαιόν ἐστιν ἐκεῖσε βασιλέα ἐπίγειον ἐξουσίαν ἔχειν.

Θεοφάνης, Χρονογραφία, εκδ. C. De Boor, Λειψία 1883.

**Τῷ δ' αὐτῷ ἔτει καὶ οἱ τῆς Ῥώμης, συγγενεῖς τοῦ μακαρίου πάπα Ἀδριανοῦ, συγκινήσαντες τὸν λαὸν ἐστασίασαν κατὰ Λέοντος τοῦ πάπα, καὶ κρατήσαντες ἐτύφλωσαν αὐτόν· οὐ μέντοι ἠδυνήθησαν τελέως σβέσαι τὸ φῶς αὐτοῦ, τῶν τυφλωσάντων αὐτὸν φιλανθρώπων ὄντων καὶ φεισαμένων αὐτοῦ. ὁ δὲ προσφυγὼν τῷ ῥηγὶ τῶν Φράγγων Καρούλῳ, ἠμύνατο τοὺς ἐχθροὺς αὐτοῦ πικρῶς καὶ πάλιν ἀπεκατέστησεν αὐτὸν εἰς τὸν ἴδιον θρόνον, γενομένης τῆς Ῥώμης ἀπ' ἐκείνου καιροῦ ὑπὸ τὴν ἐξουσίαν τῶν Φράγγων. ὁ δὲ τὸν Κάρουλον ἀμειβόμενος ἔστεψεν αὐτὸν εἰς βασιλέα Ῥωμαίων ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Πέτρου, χρίσας ἐλαίῳ ἀπὸ κεφαλῆς ἕως ποδῶν καὶ περιβαλὼν βασιλικὴν ἐσθῆτα καὶ στέφος, μηνὶ Δεκεμβρίῳ κε', ἰνδικτιῶνος θ'.**